A

## ΑΝΤΙΣΤΡΟΦΗ κώλων ι.

Χο. Οὕτω μὲν ἂν εὖ ποιῇς
Εἴ σοι πυκνότης ἔνε-
στ' ἐν τῷ τρόπῳ, ὡς λέγεις,
Τούτῳ πάνυ πολλή.
Εἰ τοὺς δ' ἐπιτήδες ὥσ-
περ δημοσίους τρέφεις
Ἐν τῇ Πνυκί. κᾆθ' ὅταν
Μή σοι τύχῃ ὄψον ὄν,
Τούτων ὃς ἂν ᾖ παχὺς
Θύσας, ἐπιδειπνεῖς.

## ANTISTROPHE.

*CH. Sic tu benefeceris,*
*Si in te sapientia*
*Insit, velut ipse ais,*
*Hoc plurima pacto:*
*Et si hos uti publicos,*
B *Summo studio in Pnyce*
*Alas, ubi post tibi*
*Opsonia non erunt,*
*Ex pinguibus his sacrans*
*Vnum, bene cœnes.*

Σχόλια. Εἴ σοι πυκνότης ἔνεστι.] σύνεσις. φρόνησις. εἰ συνεχῶς καὶ περὶ πάντας οὕτω φρονοίης. Ὥσπερ δημοσίους] λείπει βοῦς ἢ ταύρους. ἢ ἀλλ' ὅτι τοιοῦτον θῦμα. δημοσίους δὲ τοὺς λεγομένους φαρμακούς, οἵπερ καθαίρουσι τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. ἢ τοὺς δημοσίᾳ καὶ ὑπὸ C τῆς πόλεως τρεφομένους. ἔτρεφον γάρ τινας Ἀθηναῖοι λίαν ἀγεννεῖς καὶ ἀχρήστους. καὶ ἐν καιρῷ συμφορᾶς τινος ἐπελθούσης τῇ πόλει, λοιμοῦ λέγω ἢ τοιούτου τινὸς, ἔθυον τούτους ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος, οὓς καὶ ἐπωνόμαζον καθάρματα. καὶ ἐν Βατράχοις οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν. Ὅταν μή σοι τύχῃ.] τροπικῶς ὅταν μή σοι τυχὼν πόρος χρημάτων ᾖ. Ὃς ἂν ᾖ παχύς.] πλούσιος. ἀπὸ μεταφορᾶς τῶν χοίρων. ἐπιδειπνεῖς δὲ δημεύεις αὐτῶν τὰς οὐσίας. παρέλκει δὲ ἡ ἐπί. ἢ παρὰ τὸ εἰκός. κάλλιον δὲ ἐπὶ τῷ θῦσαι δειπνεῖς.

## ΣΥΣΤΗΜΑ ΕΤΕΡΟΝ κώλων ι.

D

Δη. Σκέψασθέ μ', εἰ σοφῶς
Αὐτοὺς περιέρχομαι,
Τοὺς οἰομένους φρονεῖν,
Κἄμ' ἐξαπατύλλειν.
Τηρῶ γὰρ ἑκάστοτ' αὐ-
τοὺς (οὐδὲ δοκῶν ὁρᾶν,)
Κλέπτοντας, ἔπειτ' ἀναγ-
κάζω πάλιν ἐξεμεῖν,
Ἅττ' ἂν κεκλόφωσί μου,
Κημὸν καταμηλῶν.

## SYSTEMA ALTERVM.

*Po. ME verò videte, utrum*
*Circumueniam hos catè,*
*Qui se sapere autumant,*
*Et fallere me clàm.*
*Obseruo equidem undique*
*Illos, (quasi qui nihil*
*Cernam) rapuisse: Mox*
E *Cogo euomere omnia,*
*Quæ surpuerant: spatha*
*Exploróque camum.*

Σχόλια. Περιέρχομαι.] ἐνεδρεύω. ἐξαπατῶ. ἢ σοφίζομαι καὶ ὑπέρχομαι. Οὐδὲ δοκῶν ὁρᾶν.] οὐδὲ προσποιούμενος εἰδέναι ἅπερ ἠδίκουν. Ἅττ' ἂν κεκλόφωσί μου.] ὅσα ἂν κεκλοφότες ὦσι. Κημόν.] κημὸς ὁ κάδος τῶν δικαστικῶν, ἔνθα ἔβαλλον τὰς ψήφους. ἄλλως. F κημὸς ὁ ἐπὶ τοῦ καδίσκου εἰς ὃν τὰς ψήφους καθίεσαν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν νόμοις, χοίνιον ἠθμὸν καλεῖ. τοιοῦτος γὰρ ἐγίνετο καὶ ἦν παρόμοιος χώνῃ. ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. ὕστερον δὲ ἀμφότεροι δηύοι ἵσαντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος. καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. ἔχει δὲ καὶ ὁ χαλκοῦς ὥς φησιν Ἀριστοτέλης διερρινημένον ἐπίθεμα, εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι. πρὸς τοῦτο οὖν ὁ κημός. ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις οἱ δικασταὶ ἐχρῶντο. αὗται δὲ κόγχαι τινές εἰσιν ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσιν. καὶ ὁ τοῖς ἵπποις δὲ περιτιθέμενος οὕτως ἐκαλεῖτο κημὸς, ὁ καλούμενος φιμὸς, ὡς Ξενοφῶν ἐν τοῖς περὶ ἱππικῆς. πλέγματι ἐκ χοινίων γενόμενον ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν, εἰς ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰσέρπουσιν. ἐν αὐτοῖς δὲ τούτοις ἐστὶ καὶ τὸ δέλεαρ ὥς φησιν Ἡρωδιανὸς παρατιθέμενος τὰ ἐκ Πηλέως Σοφοκλέους. κημοῖσι πλεκταῖς πορφύρας φθείρει γένος. Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς εἴρηκε διὰ τούτων. καὶ τούσδε κημοὺς στόματος. ἄλλως. Φαεινός. κημὸς ὁ βάβος, ὁ περιτιθέμενος τοῖς ἵπποις. καὶ κημῶσαι τὸ συγκλεῖσαι. καὶ οἱ ἰατροὶ κημῶσαι λέγουσι τὸ τὸν ὀφθαλμὸν μῦσαι. ἄλλως. κημὸς ἐκαλεῖτο τὸ πλέγμα τὸ ἐπιτιθέμενον τῷ κάδῳ, δι' οὗ οἱ δικασταὶ καθίεσαν τὰς ψήφους. ἄλλως. κημὸς πλέγμα κωνοειδὲς, δι' οὗ καθιᾶσιν οἱ δικασταὶ τὴν ψῆφον εἰς τὸν κάδον. καὶ ἀλλαχοῦ. κἀπιστάτην ἐπὶ τοῖς κημοῖς. καὶ τὸ τοῖς ἵπποις ἐπιτιθέμενον. καὶ γυναικεῖον προκόσμημα. καὶ αἱ αὐλητικαὶ φορβειαί. καὶ κείνου τί γένος. καὶ πόα τὶς, καὶ ὄσπριόν τι παρὰ Θραξί. καὶ μηχανικόν τι πυρφόρον μηχάνημα. G Καταμηλῶν.] καταμηλοῦν ἐστι, τὸ τὴν μήλην καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμὸν, ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες. τὸ ὅλον οὖν βούλεται, ὅτι καταψηφιζόμενος αὐτῶν καὶ δικάζων, ἀναγκάζω ἐμεῖν τὰς κλοπάς. καταδικάζων καὶ ἐξοστρακίζων. ἀπὸ μεταφορᾶς τῶν ἰατρῶν τῶν δοκιμαζόντων ἀπὸ τῆς μήλης.